Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα.
ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον
χηρεύομεν τόνδ᾿ οὐκ ἔχομεν καταφαγεῖν.
ΟΔ. ἄκουε δή νυν ἣν ἔχω τιμωρίαν
θηρὸς πανούργου σῆς τε δουλείας φυγήν.
ΧΟ. λέγ᾿, ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
κιθάρας κλύοιμεν ἢ Κύκλωπ᾿ ὀλωλότα.
ΟΔ. ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας ἡσθεὶς τῷδε Βακχίου ποτῷ.
ΧΟ. ξυνῆκ᾿, ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
σφάξαι μενοινᾷς ἢ πετρῶν ὦσαι κάτα.
ΟΔ. οὐδὲν τοιοῦτον· δόλιος ἡ ᾿πιθυμία.
ΧΟ. πῶς δαί; σοφόν τοί σ᾿ ὄντ᾿ ἀκούομεν πάλαι.
ΟΔ. κώμου μὲν αὐτὸν τοῦδ᾿ ἀπαλλάξαι, λέγων
ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ᾿ ἔχοντα βίοτον ἡδέως ἄγειν.
ὅταν δ᾿ ὑπνώσσῃ Βακχίου νικώμενος,
ἀκρεμὼν ἐλαίας ἔστιν ἐν δόμοισί τις,
ὃν φασγάνῳ τῷδ᾿ ἐξαποξύνας ἄκρον,
εἰς πῦρ καθήσω· κᾆθ᾿, ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν εἰς μέσην βαλὼν
Κύκλωπος ὄψιν ὄμματ᾿ ἐκτήξω πυρί.
ναυπηγίαν δ᾿ ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει καὶ συναυανῶ κόρας.
ΧΟ. ἰοὺ ἰού,
γέγηθα, μαινόμεσθα τοῖς εὑρήμασιν.
ΟΔ. κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος
διπλαῖσι κώπαις τῆσδ᾿ ἀποστελῶ χθονός.
ΧΟ. ἔστ᾿ οὖν ὅπως ἂν ὥσπερ ἐκ σπονδῆς θεοῦ
κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα

447. δρυμοῖσι B (Tyrwhittus) ῥυθμοῖσι C 448. κάτα] Nauckius, κάτω libri. 454. ὑπνώσσῃ] Hermannus, ὑπνώσῃ libri.